# ΚΕΦ. ΠΕΜΠΤΟΝ.

## Ὅπως τὸ πιθανὸν θηρατέον τοῖς τὸν νοῦν τῶν ἄλλων διερμηνεύουσι.

§. τιά.

Ἀναγκαῖον πρὸ πάντων τὸν ὀρθῶς ἐνστησόμενον τὴν ἑρμηνείαν, τῆς φωνῆς αὐτῆς ἐπ᾿ ἀκριβὲς ἐπαΐειν, ἧπερ ὁ λέγων, ἢ γράφων ἔτυχε χρώμενος, οὐδὲν ἧττον ἢ τῆς ἑτέρας, δι᾿ ἧς ἐκφράσαι ἐπιχειρεῖ τὰ νοούμενα, τρόπους τε παντοίους ἐκείνης εἰδότα, καὶ δυνάμεις ἐμφάσεων, καὶ γλωσσῶν διαφορὰς, καὶ τὰς ἄλλας αἷς χαρακτηρίζεται ἰδιότητας. Ἡ γὰρ παρὰ τὸ δέον ἐκδοχὴ τοῦ ὀνόματος, κἂν πρὸς τὸ ἐγγυτάτω γίνεσθαι δοκοῦν, ἀποκλίνουσα, οὐκ ἂν εἴποι τις, ὅσην τὰ πολλὰ τὴν παρεκτροπὴν, ἀπὸ τοῦ νοηθῆναι προκειμένου ἐργάζεται (1).

§. τιβ'. Δεῖ δὲ καὶ αὐτὴν πρὸ ὀφθαλμῶν ἔχειν τὴν συγγραφὴν, οὐκ οὖν εἰς ἑτέραν φωνὴν μετενηνεγμένην, καθ᾿ ἣν δ᾿ ἐξ ἀρχῆς συντέτακται, τὴν γνησιωτάτην, τὸν τὴν κατ᾿ αὐτῆς ἐπίκρισιν, ἤτοι ὅλης, ἢ μέρους, ἀναβαλλόμενον· ὥσπερ γὰρ παρὰ τὸν κρουνὸν τὸ ὕδωρ εἴωθε δοκιμάζεσθαι, διαῤῥεῦσαν γὰρ ἐπὶ ποσὸν, εἰκὸς μετειληφέναι τῆς ἐν ὀχετοῖς, ἢ χαράδραις, δι᾿ ὧν διέλθοι, ποιότητος, οὕτω τοι παρὰ τοῖς Συγγραφεῦσιν αὐτοῖς, τὸ γνήσιον καὶ ἀκριβὲς τῆς διανοίας δίκαιον ἐξετάζεσθαι. Παρὰ γὰρ τὰς διὰ τὸ ἑτερόφωνον ἀφύκτους μονονουχὶ τῶν ἡρμηνευκότων παρατροπὰς καὶ ἐξαλλοιώσεις, καὶ τοῖς μὴ ὁμοφρονοῦσι περιπίπτων ὁ λόγος, χαλεπῶς ἐνδιασώζει τὸ ἄρτιον καὶ ἀκίβδηλον. (1).

§. τιγ'. Παρασκευὴν δὲ ἔχοντα τοιαύτην ἥκειν ἀναγκαῖον τὸν ἑρμηνεύσοντα, ὡς πάθους παντὸς ἀπηλλαγμένον εἶναι, καὶ καθαρεύοντα τὴν ψυχήν· οὐδὲν δηλονότι οὔτ᾿ εὐνοίᾳ τῷ λέγοντι χαριζόμενον, οὐδὲ τοὐναντίον ἔχθει τε καὶ δυσμενείᾳ κατ᾿ ἐκείνου ἀγόμενον, ἢ ἄλλως πως προειλημμένον. (Προδι. Β'. §. κθ'. κζ'.). Λανθάνουσι γὰρ οἱ μὴ οὕτω παρεσκευασμένοι, ὑπὸ τῆς ἐν αὐτοῖς κρατούσης διαθέσεως, εἰς ἐκφύλους, καὶ τῷ παντὶ ἀλλοτριωτάτας κρίσεις καὶ γνώμας, τοὺς περὶ ὧν κρίνειν ἐπιχειροῦσιν ἀντιπεριέλκοντες. (1).

§. τιδ'. Ἀλλὰ καὶ τὸ ὅλον σύγγραμμα, οὗ πρόκειται τὸν νοῦν περί τι ἀναπτύξαι, ἐπιμελῶς πρῶτον μετιτέον· τῶν τε ἐν αὐτῷ καὶ μέθοδον, καὶ τάξιν, καὶ συνθήκην, καὶ ὅλως διασκευήν τε τὴν πᾶσαν, καὶ κατασκευὴν παρατηρητέον. Καὶ τῶν νοημάτων ἕκαστον τοῖς τε πρῶτον, καὶ τοῖς ὕστερον λεγομένοις παραβλητέον· τὰ γὰρ ἡγούμενα, καὶ τὰ ἑπόμενα ἱκανὰ πολλάκις διατρανῶσαι τὰ μεταξὺ, καὶ ἑαυτὸν ἐπὶ πολλῶν διασαφηνίζων ὁ Συγγράψας εὑρίσκεται· Ὡς οἵγε διεῤῥωγότα τινὰ λόγων τεμμάχια περικόπτοντες ἐν μέρει, καὶ περιμαστώμενοι, εἰς ἀλλοκότους τινὰς περιπίπτοντες διερμηνεύσεις, τὸν μὲν εἰπόντα διαβάλλουσιν οὐ προσηκόντως, αὐτοὶ δὲ γέλωτα πολύν τε καὶ δίκαιον παρὰ τοῖς σοφοῖς ὀφλισκάνουσιν. (2).

§. τιέ. Ἤδη δὲ οὕτω τῇ Ἑρμηνείᾳ ἐπιβάλλοντα, δεῖ μὲν τὴν καθ᾿ αὑτὸ ἐπὶ τῶν ὀνομάτων ἑκάστου σημασίαν (ἥτις ἡ κυρία ἐστὶ, καὶ πρώτως οἷον ἀπαντῶσα τῷ λόγῳ.) διασκοπεῖν· Δεῖ δὲ, καὶ τὴν κατὰ τρόπον, ἢ σχῆμα, ἢ εἰς δήλωσιν ἑτέρου τινὸς μετειλημμένην, ἀποσημειοῦν· Ὧν τὴν μὲν κατὰ τὸ γράμμα καλεῖν εἰώθασιν ἑρμηνείαν, τὴν δὲ ἀλληγορικήν. Καὶ κυρίως μὲν τὸ ῥηθὲν ἐκλαμβάνειν, ἐπειδὰν μηδὲν ᾖ τὸ ἐπεῖγον, ἀπέχεσθαι τοῦ κυριολεκτεῖν, μὴ κυρίως δὲ, εἴτι τὸ ἐκ τῆς κυριολογίας ἑπόμενον ἄτοπον. Συντελεῖ δὲ εἰς τοῦτο μάλιστα ἡ τῶν πλεο-



(5) „Ἄριστα λέγεται παρὰ τοῖς Φι„λοσόφοις, τοὺς μὴ μανθάνοντας „ὀρθῶς ἀκούειν τῶν ὀνομάτων, κακῶς „χρῆσθαι καὶ τοῖς πράγμασιν. Πλουτ. περὶ Ἰσιδ. καὶ Ὀσίριδ.

(1) Τίς οὖν ἐκ τῶν Ἀραβικῶν ὑπομνημάτων, ἐν οἷς τὰς Ἀριστοτέλους δόξας διασκοπεῖν ἐπεχείρουν Ἀβικένναστε καὶ Ἀβεῤῥόης· ἢ ἐκ τῶν Λατινικῶν, ἐξ ὧν μετ᾿ ἐκείνους Θωμᾶς τε καὶ Σκότος, τὸν τοῦ Φιλοσόφου νοῦν, οἵους γενέσθαι τινὰς συμβαλεῖν πιστεύσειεν;

(1) Ὃν οὖν, ὡς θνητὴν τὴν Λογικὴν ψυχὴν φρονοῦντα, οἱ περὶ τὸν Ἀφροδισιέα διερμηνεύουσι, ταύτης τὸ ἀθάνατον λαμπρῶς ἄλλοι μαρτυροῦντα προβάλλονται· οὐδὲν μᾶλλον τὸ ἐκείνου δόγμα ἐμφῆναι, ἢ τὸ σφίσι δοκοῦν, δι᾿ ἐκείνου συστῆσαι ἀγωνιζόμενοι. Ἐφ᾿ ᾧ καὶ θαυμάσειέ τις τὸν οὕτως ἀσαφῶς τὰ ἑαυτοῦ διακινιξάμενον, ὡς μηδ᾿ ἐν ὁλοκλήροις, ας συνέταξε βίβλοις, φανερὸν ἀναμφηρίστως γενέσθαι, οἵου ποτὲ ὑπῆρξε φρονήματος.

(2) „Δεῖ τοὺς λόγους ἕκαστον ὧν ἐλέγχει, καὶ τὰ γράμματα, μὴ παρέρ„γως διελθεῖν, μηδὲ φωνὰς ἀλλαχόθεν „ἄλλας ἀποσπῶντα, καὶ ῥήμασιν ἄνευ „γραμμάτων ἐπιτιθέμενον, ἀποκρούε„σθαι τοὺς ἀπείρους. Πλουτ. Ὅτι οὐδὲ ζῆν ἐστὶν ἡδὺ κατ᾿ Ἐπίκουρ.